Od.9.19 εἴμ᾽ Ὀδυσεὺς Λα̱ερτιάδης, ὃς πᾶσι δόλοισιν
Od.9.20 ἀνθρώποισι μέλω, καί μευ κλέος οὐρανὸν ἵ̱κει.
Od.9.21 ναιετάω δ᾽ Ἰθάκην εὐδείελον· ἐν δ᾽ ὄρος αὐτῇ,
Od.9.22 Νήριτον εἰνοσίφυλλον, ἀριπρεπές· ἀμφὶ δὲ νῆσοι
Od.9.23 πολλαὶ ναιετάουσι μάλα σχεδὸν ἀλλήλῃσι,
Od.9.24 Δουλίχιόν τε Σάμη τε καὶ ὑ̱λήεσσᾳ Ζάκυνθος.
Od.9.25 αὐτὴ δὲ χθαμαλὴ πανυπερτάτη ε̯ἰν ἁλὶ κεῖται
Od.9.26 πρὸς ζόφον, αἱ δέ τ᾽ ἄνευθε πρὸς ἠῶ τ᾽ ἠέλιόν τε,
Od.9.27 τρηχεῖ᾽, ἀλλ᾽ ἀγαθὴ κουροτρόφος· οὔ τι ἐγώ γε
Od.9.28 ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
Od.13.93 εὖτ᾽ ἀστὴρ ὑπερέσχε φαάντατος, ὅς τε μάλιστα
Od.13.94 ἔρχεται ἀγγέλλων φάος Ἠοῦς ἠριγενείης,
Od.13.95 τῆμος δὴ νήσῳ προσεπίλνατο ποντοπόρος νηῦς.
Od.13.96 Φόρκυ̱νος δέ τίς ἐστι λιμήν, ἁλίοιο γέροντος,
Od.13.97 ἐν δήμῳ Ἰθάκης· δύο δὲ προβλῆτες ἐν αὐτῷ
Od.13.98 ἀκταὶ ἀπορρῶγες, λιμένος πότι πεπτηυῖαι,
Od.13.99 αἵ τ᾽ ἀνέμων σκεπόωσι δυσα̱ήων μέγα κῦμα
Od.13.100 ἔκτοθεν· ἔντοσθεν δέ τ᾽ ἄνευ δεσμοῖο μένουσι
Od.13.101 νῆες ἐΰσσελμοι, ὅτ᾽ ἂν ὅρμου μέτρον ἵκωνται.
Od.13.102 αὐτὰρ ἐπὶ κρα̱τὸς λιμένος τανύφυλλος ἐλαίη,
Od.13.103 ἀγχόθι δ᾽ αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
Od.13.104 ἱ̱ρὸν Νυμφά̱ων, αἳ Νηϊάδες καλέονται.
Od.13.105 ἐν δὲ κρητῆρές τε καὶ ἀμφιφορῆες ἔα̱σι
Od.13.106 λά̱ϊνοι· ἔνθα δ᾽ ἔπειτα τιθαιβώσσουσι μέλισσαι.
Od.13.107 ἐν δ᾽ ἱστοὶ λίθεοι περιμήκεες, ἔνθά τε Νύμφαι
Od.13.108 φά̱ρε᾽ ὑφαίνουσιν ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι·
Od.13.109 ἐν δ᾽ ὕδατ᾽ α̱ἐνάοντα. δύω δέ τέ οἱ θύραι εἰσίν,
Od.13.110 αἱ μὲν πρὸς βορέα̱ο καταιβαταὶ ἀνθρώποισιν,
Od.13.111 αἱ δ᾽ αὖ πρὸς νότου εἰσὶ θεώτεραι· οὐδέ τι κείνῃ
Od.13.112 ἄνδρες ἐσέρχονται, ἀλλ᾽ ἀ̱θανάτων ὁδός ἐστιν.
Od.13.113 ἔνθ᾽ οἵ γ᾽ εἰσέλασαν, πρι̯ὶν εἰδότες. ἡ μὲν ἔπειτα
Od.13.114 ἠπείρῳ ἐπέκελσεν ὅσον τ᾽ ἐπὶ ἥμισυ πα̱σης,
Od.13.115 σπερχομένη· τοῖον γὰρ ἐπείγετο χέρσ᾽ ἐρετά̱ων.
Od.13.116 οἱ δ᾽ ἐκ νηὸς βάντες ἐϋζύγου ἤπειρόνδε

Od.13.117 πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν
Od.13.118 αὐτῷ σύν τε λίνῳ καὶ ῥήγεϊ σιγαλόεντι,
Od.13.119 κὰδ δ΄ ἄρ΄ ἐπὶ ψαμάθῳ ἔθεσαν δεδμημένον ὕπνῳ,
Od.13.120 ἐκ δὲ κτήματ΄ ἄειραν, ἅ οἱ Φαίηκες ἀγαυοὶ
Od.13.121 ὤπασαν οἴκαδ΄ ἰόντι διὰ μεγάθυμον Ἀθήνην.
Od.13.122 καὶ τὰ μὲν οὖν παρὰ πυθμέν΄ ἐλαίης ἁθρόα θῆκαν
Od.13.123 ἐκτὸς ὁδοῦ, μή πώ τις ὁδιτάων ἀνθρώπων,
Od.13.124 πρὶν Ὀδυσῆ΄ ἐγρέσθαι, ἐπελθὼν δηλήσαιτο·
Od.13.187 ἑσταότες περὶ βωμόν. ὁ δ΄ ἔγρετο δῖος Ὀδυσσεὺς
Od.13.188 εὕδων ἐν γαίῃ πατρωΐῃ, οὐδέ μιν ἔγνω,
Od.13.189 ἤδη δὴν ἀπεών· περὶ γὰρ θεὸς ἠέρα χεῦε
Od.13.190 Παλλὰς Ἀθηναίη, κούρη Διός, ὄφρα μιν αὐτὸν
Od.13.191 ἄγνωστον τεύξειεν ἕκαστά τε μυθήσαιτο,
Od.13.192 μή μιν πρὶν ἄλοχος γνοίη ἀστοί τε φίλοι τε,
Od.13.193 πρὶν πᾶσαν μνηστῆρας ὑπερβασίην ἀποτεῖσαι.
Od.13.194 τοὔνεκ΄ ἄρ΄ ἀλλοειδέα φαινέσκετο πάντα ἄνακτι,
Od.13.195 ἀτραπιτοί τε διηνεκέες λιμένες τε πάνορμοι
Od.13.196 πέτραι τ΄ ἠλίβατοι καὶ δένδρεα τηλεθάοντα.
Od.13.197 στῆ δ΄ ἄρ΄ ἀναΐξας καί ῥ΄ εἴσιδε πατρίδα γαῖαν,
Od.13.198 ᾤμωξέν τ΄ ἄρ΄ ἔπειτα καὶ ὢ πεπλήγετο μηρὼ
Od.13.199 χερσὶ καταπρηνέσσ΄, ὀλοφυρόμενος δ΄ ἔπος ηὔδα·
Od.13.200 "ὤ μοι ἐγώ, τέων αὖτε βροτῶν ἐς γαῖαν ἱκάνω;
Od.13.201 ἤ ῥ΄ οἵ γ΄ ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι,
Od.13.202 ἦε φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής;
Od.13.203 πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ δὲ καὶ αὐτὸς
Od.13.204 πλάγξομαι; αἴθ΄ ὄφελον μεῖναι παρὰ Φαιήκεσσιν
Od.13.205 αὐτοῦ· ἐγὼ δέ κεν ἄλλον ὑπερμενέων βασιλήων
Od.13.206 ἐξικόμην, ὅς κέν μ΄ ἐφίλει καὶ ἔπεμπε νέεσθαι.
Od.13.207 νῦν δ΄ οὔτ΄ ἄρ πῃ θέσθαι ἐπίσταμαι, οὐδὲ μὲν αὐτοῦ
Od.13.208 καλλείψω, μή πώς μοι ἕλωρ ἄλλοισι γένηται.
Od.13.209 ὢ πόποι, οὐκ ἄρα πάντα νοήμονες οὐδὲ δίκαιοι
Od.13.210 ἦσαν Φαιήκων ἡγήτορες ἠδὲ μέδοντες,
Od.13.211 οἵ μ΄ εἰς ἄλλην γαῖαν ἀπήγαγον· ἦ τέ μ΄ ἔφαντο
Od.13.212 ἄξειν εἰς Ἰθάκην εὐδείελον, οὐδ΄ ἐτέλεσσαν.

Od.13.213 Ζεύς σφεας τείσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
Od.13.214 ἀνθρώπους ἐφορᾷ καὶ τείνυται, ὅς τις ἁμάρτῃ.
Od.13.215 ἀλλ´ ἄγε δὴ τὰ χρήματ´ ἀριθμήσω καὶ ἴδωμαι,
Od.13.216 μή τί μοι οἴχωνται κοίλης ἐπὶ νηὸς ἄγοντες."
Od.13.217 ὣς εἰπὼν τρίποδας περικαλλέας ἠδὲ λέβητας
Od.13.218 ἠρίθμει καὶ χρυσὸν ὑφαντά τε εἵματα καλά.
Od.13.219 τῶν μὲν ἄρ´ οὔ τι πόθει· ὁ δ´ ὀδύρετο πατρίδα γαῖαν
Od.13.220 ἑρπύζων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
Od.13.221 πόλλ´ ὀλοφυρόμενος. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Od.13.222 ἀνδρὶ δέμας εἰκυῖα νέῳ, ἐπιβώτορι μήλων,
Od.13.223 παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασι,
Od.13.224 δίπτυχον ἀμφ´ ὤμοισιν ἔχουσ´ εὐεργέα λώπην·
Od.13.225 ποσσὶ δ´ ὑπὸ λιπαροῖσι πέδιλ´ ἔχε, χερσὶ δ´ ἄκοντα.
Od.13.226 τὴν δ´ Ὀδυσεὺς γήθησεν ἰδὼν καὶ ἐναντίος ἦλθε
Od.13.227 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Od.13.228 "ὦ φίλ´, ἐπεί σε πρῶτα κιχάνω τῷδ´ ἐνὶ χώρῳ,
Od.13.229 χαῖρέ τε καὶ μή μοί τι κακῷ νόῳ ἀντιβολήσαις,
Od.13.230 ἀλλὰ σάω μὲν ταῦτα, σάω δ´ ἐμέ· σοὶ γὰρ ἐγώ γε
Od.13.231 εὔχομαι ὥς τε θεῷ καί σευ φίλα γούναθ´ ἱκάνω.
Od.13.232 καί μοι τοῦτ´ ἀγόρευσον ἐτήτυμον, ὄφρ´ ἐῢ εἰδῶ·
Od.13.233 τίς γῆ, τίς δῆμος, τίνες ἀνέρες ἐγγεγάασιν;
Od.13.234 ἤ πού τις νήσων εὐδείελος, ἦέ τις ἀκτὴ
Od.13.235 κεῖθ´ ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο;"
Od.13.236 τὸν δ´ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Od.13.237 "νήπιός εἰς, ὦ ξεῖν´, ἢ τηλόθεν εἰλήλουθας,
Od.13.238 εἰ δὴ τήνδε τε γαῖαν ἀνείρεαι. οὐδέ τι λίην
Od.13.239 οὕτω νώνυμός ἐστιν· ἴσασι δέ μιν μάλα πολλοί,
Od.13.240 ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ´ ἠέλιόν τε,
Od.13.241 ἠδ´ ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα.
Od.13.242 ἦ τοι μὲν τρηχεῖα καὶ οὐχ ἱππήλατός ἐστιν
Od.13.243 οὐδὲ λίην λυπρή, ἀτὰρ οὐδ´ εὐρεῖα τέτυκται.
Od.13.244 ἐν μὲν γάρ οἱ σῖτος ἀθέσφατος, ἐν δέ τε οἶνος
Od.13.245 γίνεται· αἰεὶ δ´ ὄμβρος ἔχει τεθαλυῖά τ´ ἐέρση.
Od.13.246 αἰγίβοτος δ´ ἀγαθὴ καὶ βούβοτος· ἔστι μὲν ὕλη

Od.13.247 παντοίη, ἐν δ´ ἀρδμοὶ ἐπηετανοὶ παρέα̱σι.
Od.13.248 τῶ τοι, ξεῖν´, Ἰθάκης γε καὶ ἐς Τροίην ὄνομ´ ῑ̱κει,
Od.13.249 τήν περ τηλοῦ φα̱σὶν Ἀχαιΐδος ἔμμεναι αἴης."
Od.13.250 ὣς φάτο, γήθησεν δὲ πολύτλα̱ς δῖος Ὀδυσσεὺς
Od.13.251 χαίρων ᾗ γαίῃ πατρωΐῃ, ὥς οἱ ἔειπε
Od.13.252 Παλλὰς Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο·
Od.13.345 Φόρκυ̱νος μὲν ὅδ´ ἐστὶ λιμήν, ἁλίοιο γέροντος,
Od.13.346 ἥδε δ´ ἐπὶ κρα̱τὸς λιμένος τανύφυλλος ἐλαίη·
Od.13.347 [ἀγχόθι δ´ αὐτῆς ἄντρον ἐπήρατον ἠεροειδές,
Od.13.348 ι̱ρὸν Νυμφά̱ων, αἳ Νηϊάδες καλέονται·]
Od.13.349 τοῦτο δέ τοι σπέος εὐρὺ κατηρεφές, ἔνθα σὺ πολλὰ̱ς
Od.13.350 ἕρδεσκες Νύμφῃσι τελήεσσα̱ς ἑκατόμβας·
Od.13.351 τοῦτο δὲ Νήριτόν ἐστιν ὄρος καταειμένον ὕ̱λῃ."
Od.13.352 ὣς εἰποῦσα θεὰ̱ σκέδασ´ ἠέρα, εἴσατο δὲ χθών·
Od.13.353 γήθησέν τ´ ἄρ´ ἔπειτα πολύτλα̱ς δῖος Ὀδυσσεὺς
Od.13.354 χαίρων ᾗ γαίῃ, κύσε δὲ ζείδωρον ἄρουραν.
Od.13.355 αὐτίκα δὲ Νύμφῃσ´ ἠρήσατο χεῖρας ἀνασχών·
Od.13.356 "Νύμφαι Νηϊάδες, κοῦραι Διός, οὔ ποτ´ ἐγώ γε
Od.13.357 ὄψεσθ´ ὔμμ´ ἐφάμην· νῦν δ´ εὐχωλῇσ´ ἀγανῇσι
Od.13.358 χαίρετ´· ἀτὰρ καὶ δῶρα διδώσομεν, ὡς τὸ πάρος περ,
Od.13.359 αἴ κεν ἐᾷ πρόφρων με Διὸς θυγάτηρ ἀγελείη
Od.13.360 αὐτόν τε ζώειν καί μοι φίλον υἱὸν ἀέξῃ."
Od.13.361 τὸν δ´ αὖτε προσέειπε θεὰ̱ γλαυκῶπις Ἀθήνη
Od.13.362 "θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Od.13.363 ἀλλὰ χρήματα μὲν μυχῷ ἄντρου θεσπεσίοιο
Od.13.364 θείομεν αὐτίκα νῦν, ἵνα περ τάδε τοι σόα μίμνῃ·
Od.13.365 αὐτοὶ δὲ φραζώμεθ´, ὅπως ὄχ´ ἄριστα γένηται."
Od.13.366 ὣς εἰποῦσα θεὰ̱ δῦνε σπέος ἠεροειδές,
Od.13.367 μαιομένη κευθμῶνας ἀνὰ σπέος· αὐτὰρ Ὀδυσσεὺς
Od.13.368 ἆσσον πάντ´ ἐφόρει, χρυ̱σὸν καὶ ἀτειρέα χαλκὸν
Od.13.369 εἵματά τ´ εὐποίητα, τά οἱ Φαίηκες ἔδωκαν.
Od.13.370 καὶ τὰ μὲν εὖ κατέθηκε, λίθον δ´ ἐπέθηκε θύρῃσι
Od.13.392 τὸν δ´ ἠμείβετ´ ἔπειτα θεὰ̱ γλαυκῶπις Ἀθήνη·
Od.13.393 "καὶ λί̱ην τοι ἐγώ γε παρέσσομαι, οὐδέ με λήσεις,

Od.13.394 ὁππότε κεν δὴ ταῦτα πενώμεθα· καί τιν᾽ ὀΐω
Od.13.395 αἵματί τ᾽ ἐγκεφάλῳ τε παλαξέμεν ἄσπετον οὖδας
Od.13.396 [ἀνδρῶν μνηστήρων, οἵ τοι βίοτον κατέδουσιν.]
Od.13.397 ἀλλ᾽ ἄγε σ᾽ ἄγνωστον τεύξω πάντεσσι βροτοῖσι·
Od.13.398 κάρψω μὲν χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
Od.13.399 ξανθὰς δ᾽ ἐκ κεφαλῆς ὀλέσω τρίχας, ἀμφὶ δὲ λαῖφος
Od.13.400 ἕσσω, ὅ κεν στυγέῃσιν ἰδὼν ἄνθρωπος ἔχοντα,
Od.13.401 κνυζώσω δέ τοι ὄσσε πάρος περικαλλέ᾽ ἐόντε,
Od.13.402 ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανήῃς
Od.13.403 σῇ τ᾽ ἀλόχῳ καὶ παιδί, τὸν ἐν μεγάροισιν ἔλειπες.
Od.13.404 αὐτὸς δὲ πρώτιστα συβώτην εἰσαφικέσθαι,
Od.13.405 ὅς τοι ὑῶν ἐπίουρος, ὁμῶς δέ τοι ἤπια οἶδε,
Od.13.406 παῖδά τε σὸν φιλέει καὶ ἐχέφρονα Πηνελόπειαν.
Od.13.407 δήεις τόν γε σύεσσι παρήμενον· αἱ δὲ νέμονται
Od.13.408 πὰρ Κόρακος πέτρῃ ἐπί τε κρήνῃ Ἀρεθούσῃ,
Od.13.409 ἔσθουσαι βάλανον μενοεικέα καὶ μέλαν ὕδωρ
Od.13.410 πίνουσαι, τά θ᾽ ὕεσσι τρέφει τεθαλυῖαν ἀλοιφήν.
Od.13.411 ἔνθα μένειν καὶ πάντα παρήμενος ἐξερέεσθαι,
Od.13.412 ὄφρ᾽ ἂν ἐγὼν ἔλθω Σπάρτην ἐς καλλιγύναικα
Od.13.413 Τηλέμαχον καλέουσα, τεὸν φίλον υἱόν, Ὀδυσσεῦ·
Od.13.429 ὣς ἄρα μιν φαμένη ῥάβδῳ ἐπεμάσσατ᾽ Ἀθήνη.
Od.13.430 κάρψε μέν οἱ χρόα καλὸν ἐνὶ γναμπτοῖσι μέλεσσι,
Od.13.431 ξανθὰς δ᾽ ἐκ κεφαλῆς ὄλεσε τρίχας, ἀμφὶ δὲ δέρμα
Od.13.432 πάντεσσιν μελέεσσι παλαιοῦ θῆκε γέροντος,
Od.13.433 κνύζωσεν δέ οἱ ὄσσε πάρος περικαλλέ᾽ ἐόντε·
Od.13.434 ἀμφὶ δέ μιν ῥάκος ἄλλο κακὸν βάλεν ἠδὲ χιτῶνα,
Od.13.435 ῥωγαλέα ῥυπόωντα, κακῷ μεμορυγμένα καπνῷ·
Od.13.436 ἀμφὶ δέ μιν μέγα δέρμα ταχείης ἕσσ᾽ ἐλάφοιο,
Od.13.437 ψιλόν· δῶκε δέ οἱ σκῆπτρον καὶ ἀεικέα πήρην,
Od.13.438 πυκνὰ ῥωγαλέην· ἐν δὲ στρόφος ἦεν ἀορτήρ.